licet apud Sypontinos paulo conſtrictior. Sed regia illa poteſtas pleniſſima, per quam rex omnia ex voluntate ſua gubernat, videtur quibuſdam non eſſe ſecundum naturã vt vnus omnium dominus ſit ciuium, cùm ex ſimilib. ciuitas conſtet. nã ſimilib. natura idẽ ius eſſe neceſſarium eſt, & eandem dignitatem ſecundum naturam, quare vt parem habere impares alimoniam, aut veſtem, nociuum eſt corporibus: ita & in honoribus res ſe habet: ſimiliter ergo & inæqualem inæqualibus, ex quo non magis præeſſe quàm ſubeſſe iuſtum eſt, & per viciſſitudinem eodem modo, & hæc iam lex. nam inſtitutio lex eſt. Melius eſt igitur vt lex dominetur, quàm aliquis ciuium, eadémque iſta ratione ſi quos præeſſe oportet, ita ſunt præficiendi, vt cuſtodes legum atque miniſtri. neceſſe eſt enim eſſe aliquos magiſtratus cum poteſtate, ſed nõ vnum hunc eſſe debere aiunt in ciuium paritate. Quęcunq. tamen videntur per legem quidem terminari non poſſe, per hominem verò cognoſci poſſe, prudẽter cauens lex adiungit, cætera iuſtitiſſima intentione iudicari debere per eos qui iudiciis præſunt, ac inſuper emẽdare permittit, quid videatur conantibus (vt) melius diſponatur quàm ſicut iacet. Qui igitur legem præeſſe iubent, videntur iubere Deum præeſſe & leges: qui autem hominem iubet præeſſe adiungit & beſtiam, libido quippe talis eſt, atque obliquos agit etiam viros optimos qui ſunt in poteſtate, ex quo mẽs abſque appetitu lex eſt. Videtur autem de artibus falſum eſſe exemplum, quòd ſecundum literas medicari vanũ eſſet, meliúſq. fore ſi poſſidentibus artem vtamur. nam illi quidem nihil contra rationem per amicitiam agunt: ſed recuſant mercedem accipere, cùm ſanos fecerint. At in ciuilibus magiſtratibus multa per affectionem & gratiam conſueuerunt delinquere, cum ſi de fide medici timeretur, ac ſuſpitio foret, ne ſuſcepto ab inimicis pretio necare velit, tunc ex literis curam magis optaremus. Atqui ægrotantes medici alios ad ſe medicos vocant, & magiſtri palæſtræ alios magiſtros: quaſi nequeant verum diſcernere qui de propriis iudicant, & in affectu conſtituti ſunt. quare manifeſtum eſt, quòd iuſtum quærentes, medium quærunt. Lex enim medium eſt.

A περὶ δὲ τῆς παμβασιλείας καλουμένης, αὕτη δ' ἐστὶ καθ' ἣν ἄρχει πάντων κατὰ τὴν ἑαυτοῦ βούλησιν ὁ βασιλεὺς, [λεκτέον.] δοκεῖ δέ τισιν οὐ κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων εἶναι τῶν πολιτῶν, ὅπου συνέστηκεν ἐξ ὁμοίων ἡ πόλις. τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον ἀναγκαῖον καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν εἶναι. ὥστ' εἴπερ καὶ τὸ ἴσην ἔχειν τοὺς ἀνίσους τροφὴν ἢ ἐσθῆτα, βλαβερὸν τοῖς B σώμασιν· οὕτως ἔχει καὶ τὸ περὶ τὰς τιμάς· ὁμοίως τοίνυν καὶ τὸ ἄνισον τοὺς ἴσοις. διόπερ οὐδὲν μᾶλλον ἄρχειν ἢ ἄρχεσθαι δίκαιον· καὶ τὸ ἀνὰ μέρος τοίνυν ὡσαύτως. τοῦτο δ' ἤδη νόμος. ἡ γὰρ τάξις, νόμος. τὸν ἄρα νόμον ἄρχειν αἱρετώτερον μᾶλλον ἢ τῶν πολιτῶν ἕνα τινά. κατὰ τὸν αὐτὸν δὲ λόγον τοῦτον, κἂν εἴ τινας ἄρχειν βέλτιον, τούτους καταστατέον C νομοφύλακας καὶ ὑπηρέτας τοῖς νόμοις. ἀναγκαῖον γὰρ εἶναί τινας ἀρχάς· ἀλλ' οὐχ ἕνα τοῦτον εἶναί φασι δίκαιον. ὁμοίων γε ὄντων πάντων. ἀλλὰ μὴν ὅσα γε μὴ δοκεῖ δύνασθαι διορίζειν ὁ νόμος, οὐδ' ἄνθρωπος ἂν δύναιτο γνωρίζειν. ἀλλ' ἐπίτηδες παιδεύσας ὁ νόμος, ἐφίστησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν καὶ διοικεῖν τοὺς ἄρχοντας. ἔτι δ' ἐπανορθοῦσθαι δίδωσιν, ὅ τι ἂν δόξῃ, D πειρωμένοις ἄμεινον εἶναι τῶν κειμένων. ὁ μὲν οὖν τὸν νοῦν κελεύων ἄρχειν, δοκεῖ κελεύειν ἄρχειν τὸν θεὸν καὶ τοὺς νόμους· ὁ δ' ἄνθρωπον κελεύων, προστίθησι καὶ θηρίον. ἥ τε γὰρ ἐπιθυμία τοιοῦτον, καὶ ὁ θυμὸς ἄρχοντας διαστρέφει, καὶ τοὺς ἀρίστους ἄνδρας. διόπερ ἄνευ ὀρέξεως νοῦς ὁ νόμος ἐστί. τὸ δὲ τῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ κατὰ γράμ- E ματα ἰατρεύεσθαι φαῦλον, ἀλλὰ καὶ αἱρετώτερον χρῆσθαι τοῖς ἔχουσι τὰς τέχνας. οἱ μὲν γὰρ οὐδὲν διὰ φιλίαν παρὰ τὸν λόγον ποιοῦσιν, ἀλλ' ἄρνυνται τὸν μισθὸν τοὺς κάμνοντας ὑγιάσαντες· οἱ δ' ἐν ταῖς πολιτικαῖς ἀρχαῖς πολλὰ πρὸς ἐπήρειαν καὶ χάριν εἰώθασι πράττειν· ἐπεὶ καὶ τοὺς ἰατροὺς, ὅταν ὑποπτεύωσι πεισθέντας τοῖς ἐχθροῖς διαφθεί- F ρειν διὰ κέρδος, τότε τὴν ἐκ τῶν γραμμάτων θεραπείαν ζητήσαιεν ἂν μᾶλλον. ἀλλὰ μὴν εἰσάγονταί γε ἐφ' ἑαυτοὺς οἱ ἰατροὶ κάμνοντες ἄλλους ἰατροὺς, καὶ οἱ παιδοτρίβαι γυμναζόμενοι παιδοτρίβας, ὡς οὐ δυνάμενοι κρίνειν τὸ ἀληθὲς, διὰ τὸ κρίνειν περί τε οἰκείων, καὶ ἐν πάθει ὄντες. ὥστε δῆλον ὅτι τὸ δίκαιον ζητοῦντες, τὸ μέσον ζητοῦσιν· ὁ γὰρ νόμος τὸ μέσον. ἔτι κυ-